παλαίστραις διέτριβον. οὐ γνησίμην φησὶν ὠχρὸς ὡς οἱ περὶ τὸν Σωκράτη. καὶ ἀνυπόδυτος καὶ ῥυπῶν. οἱ γὰρ ἱππεῖς, εὔχροι καὶ ὑποδεδεμένοι καὶ ἐν γυμνασίοις ἐξεταζόμενοι. καὶ ἐν τοῖς ἱππεῦσί φησι. μὴ φθονεῖτε δ' ἡμῖν μηδ' ἀπεστλεγγισμένοις, τουτέστι λιπῶσι. τοῦτο οὖν ὁ

A νεανίσκος δεδοικέναι φησὶ τὸ ἀπέχθεσθαι τοῖς περὶ τὴν ἱππικὴν ἔχουσιν, εἰ καταλιπὼν τὸ κοσμεῖν τὸ σῶμα καὶ μετιέναι τὰ τῶν ἱππέων ἐπιτηδεύματα, τὰ τῶν φιλοσόφων μετέλθοι. ὡς ἱππαζόμενον δὲ καὶ τοῦτον, μετὰ τῶν ἱππέων φησὶ τάττεσθαι.

Στ. Οὐκ ἄρα μὰ τὴν Δήμητρα τῶν γ' ἐμῶν ἔδει.
Οὔτ' αὐτὸς, οὔθ' ὁ ζύγιος, οὔθ' ὁ σαμφόρας.
Ἀλλ' ἐξελῶ σ' ἐς κόρακας ἐκ τῆς οἰκίας.
Φει. Ἀλλ' οὐ περιόψεταί μ' ὁ θεῖος Μεγακλέης
Ἄνιππον. ἀλλ' εἴσειμι, σοῦ δ' οὐ φροντιῶ.

ST. *Ergo neque de meo post comedes, eccerè,*
*Neque tu, neque iugalis, neque Sāphoras tuus.*
*Sed è domo ad coruos te nunc statim exigam.*
B PH. *At sine equo non patietur me Megacles, meus*
*Auunculus: eo intrò: posthac te negligam.*

Σχόλια. Οὐκ ἄρα μὰ τὴν Δήμητρα.] εἰκότως τὴν Δήμητρα ὄμνυσιν, ἐπεὶ περὶ τροφῶν ὁ λόγος ἐστί. τούτων γὰρ ἡ θεὸς εὑρετίς. Οὔθ' ὁ ζύγιος, οὔθ' ὁ σαμφόρας.] ζύγιοι ἵπποι καλοῦνται, οἱ ὑποβαλλόμενοι τῷ τοῦ ἅρματος ζυγῷ, τουτέστιν ὁ μέσος δεξιὸς, καὶ ὁ μέσος ἀριστερός. σαμφόραι δὲ, οἱ σῖγμα ἔχοντες περὶ τὸν μηρόν. καὶ διὰ τοῦ μ καὶ π γράφεται. Ἀλλ' ἐξελῶ σ' ἐς κόρακας.]

ἀλλ' ἐκβαλῶ σε καὶ διώξω σε τῆς οἰκίας τῆς ἐμῆς. ταχύτερον δὲ αὐτῷ διαλέγεται καὶ ἀπειλητικώτερον, τὴν ἐλπίδα τοῦ πείσειν αὐτὸν ἀπολωλεκώς. Ἀλλ' οὐ περιόψεταί με.] εἰκὸς γὰρ ἦν καὶ τοῦτον σεμνυνόμενον ἐπὶ ταῖς τρισὶ νίκαις τοῦ πατρὸς, ἥδεσθαι τὸν νεανί-
C σκον ὁρῶντα μετερχόμενον τὰ προγονικὰ ἐπιτηδεύματα.

---

## ΔΡΑΜΑΤΟΣ ΤΟΥ ΠΡΩΤΟΥ Σκηνὴ δευτέρα.

Τρίμετροι Ιαμβικοί.

### ΣΤΡΕΨΙΑΔΗΣ, ΜΑΘΗΤΗΣ Η ΠΑΙΣ ΣΩΚΡΑΤΟΥΣ.

## ACTVS I. SCENA II.

*Senarij Iambici.*

### D STREPSIADES, DISCIPVLVS SEV PVER SOCRATIS.

BISETVS. Στρεψιάδης πᾶσαν ἐλπίδα περὶ τοῦ παιδὸς πρότερον συλληφθεῖσαν ἀποβαλὼν, αὐτὸς πρὸς τὸν Σωκράτην φοιτᾶν, τὴν τε τοῦ ψεύδεσθαι, καὶ φενακίζειν τέχνην, οὐδένα λόγον τῆς ἡλικίας παρακμαζούσης ποιούμενος, μανθάνειν ἔγνω.

Στ. Ἀλλ' οὐδ' ἐγὼ μέντοι πεσών γε κείσομαι
Ἀλλ' εὐξάμενος τοῖσι θεοῖς, διδάξομαι,
Αὐτὸς βαδίζων εἰς τὸ φροντιστήριον.
Πῶς οὖν γέρων ὢν, κἀπιλήσμων, καὶ βραδὺς,
Λόγων ἀκριβῶν σκινδαλμοὺς μαθήσομαι;
Ιτητέον τί ταῦτ' ἔχων στραγγεύομαι;
Ἀλλ' οὐχὶ κόπτω τὴν θύραν; παῖ, παιδίον.
Μα. Βάλλ' ἐς κόρακας, τίς ἔσθ' ὁ κόψας τὴν θύραν;

*EGo verò, etsi cecidi, non iacebo tamen:*
*Sed inuocatis Dijs, in ludum ipsemet*
*Me conferam, & hanc artem doceri me sinam.*
E *At cùm sim obliuiosus, & tardus senex:*
*Quomodo subtiliores discam literas?*
*Eundum est. nam quid hac re sollicitor miser?*
*Cur cesso pulsare ostium? Puer heus, puer.*
DI. *Abi in malam rem: quisnam pepulit has fores?*

Σχόλια. Ἀλλ' οὐδ' ἐγὼ μέντοι.] ἀλλ' οὐδ' ἐγὼ μέντοι ἀθυμήσω διότι μὴ πέπεικα τὸν υἱόν. οὐδὲ τέλεον ἀφέξομαι τῆς γνώμης τῆς προκειμένης μοι, οὐ παραδώσω ἐμαυτὸν ταῖς λύπαις.

BISETVS. Τούτου δὲ τοῦ στίχου παροιμιακῶς ἂν χρῆσις εἴη, εἴ τις δυστυχήματί τινι πιεσθεὶς τούτου ἀπαλλαχθήσεσθαι ἐλπίζει. ἢ ὅταν τις εἰς ἁμαρτίαν τινὰ κατολισθήσας, μεταμεληθεὶς ἔπειτα, ἐν αὐτῇ διαμένειν οὐκ ἐθέλει.

Σχόλια. Διδάξομαι] νῦν μὲν, παθητικὸν ἀποδεκτέον. διδάξομαι δὲ τὸν υἱὸν φιλοσοφεῖν κυριώτερον, ἢ διδάξω. διδάξω μὲν γὰρ, ὁ φιλόσοφος διδάσκαλος ἐρεῖ. διδάξομαι δὲ ὁ πατὴρ καὶ πᾶς ὁ παρασκευάζων ἕτερον μανθάνειν. δύναται οὖν καὶ νῦν εἶναι τὸ αὐτὸ ἵν' ᾖ νοούμενον, ἐπεὶ οὐ τὸν υἱὸν, ἐμαυτὸν διδάξομαι ἔφη, ἅτε βαδίζων εἰς τὸ φροντιστήριον. τὸ δὲ ἐμαυτὸν λείπει τοῦ μέτρου οὐκ ἐπιτρέποντος. ἄλλως. ἀντὶ τοῦ διδασκάλῳ παραδώσω. ἐπεὶ μέσον ὂν τὸ διδάξομαι, πρὸς ἄμφω τὰς ἐνεργείας χωρεῖ.

BISETVS. Ἄλλως. Διδάξομαι, ἀντὶ τοῦ μαθήσω. πῶς; τοῖς θεοῖς εὐξάμενος, καὶ αὐτὸς βαδίζων εἰς τὸ φροντιστήριον. διδάσκεσθαι, μανθάνειν. ἡ διδαχὴ δὲ πρὸ τῆς μαθήσεως εἶναι φιλεῖ. τῷ δὲ διδάξομαι ἡ ἐπεξήγησις
F ἕπεται μαθήσομαι.

Σχόλια. Πῶς οὖν γέρων ὤν.] ταῦτα καθ' ἑαυτὸν λογίζεται ἐν τῷ ἀπιέναι. τὸ δὲ βραδὺς, οὐκ ἐπὶ τῆς τοῦ σώματος κινήσεως παρείληφεν, ἀλλὰ τὸ μὴ ἀγχίνους εἶναι. ἄνωθεν δὲ τὰ τῆς διανοίας δηλοῦν θέλει. Λόγων ἀκριβῶν σκινδαλμούς.] λόγων ἰσχνῶν λεπτολογίας. λεπτὰ γὰρ καὶ ἰσχνὰ τὰ τῶν λόγων ζητήματα. σκινδαλμοὺς δὲ, λεπτολογίας ἀπὸ τῆς σχίσεως τῶν καλάμων. ἐξήγησις δὲ καὶ ἐπεξεργασία τῶν ἀκριβῶν οἱ σκινδαλμοί. ἰδίως γὰρ σκινδαλμοὺς καλοῦμεν, τὰ λεπτότατα τῶν ξύλων. καὶ τὰ τῶν καλά-
G μων ξύσματα. τοῦτο δὲ ἐπὶ τῆς εὐθείας, ὀξύνεται. ἐπὶ δὲ τῶν πλαγίων παροξύνεται.

BISETVS. Σκινδαλμοὺς.] παρὰ τῷ Σουΐδᾳ γέγραπται σκινδάλαμοι. καὶ ἴσως ἐνταῦθα σκινδαλάμους γραπτέον. ἀλλὰ πῶς τοῦτο τὸ ὄνομα ἐν τῇ εὐθείᾳ μὲν ὀξύνεται, ἐπὶ δὲ τῶν πλαγίων προπαροξύνεται; ἄδηλον. καὶ τὰ παλαιὰ σχόλια ἐπανόρθωσιν ἀπαιτεῖν δοκεῖ. Ιτητέον] ἰτέον, πορευτέον. Σ.

Σχόλια.